# Burton & Goodspeed # 81: The Syrophoenician Woman

| Matthew 15:21-28 | Mark 7:24-30 |
|---|---|
| **Matthew 15:21** | **Mark 7:24** |
| Καὶ ἐξελθὼν ἐκεῖθεν | Ἐκεῖθεν δὲ ἀναστὰς |
| ὁ Ἰησοῦς ἀνεχώρησεν | ἀπῆλθεν |
| εἰς τὰ μέρη Τύρου | εἰς τὰ ὅρια Τύρου. |
| καὶ Σιδῶνος. | καὶ εἰσελθὼν εἰς οἰκίαν οὐδένα |
| | ἤθελεν γνῶναι, καὶ οὐκ |
| | ἠδυνήθη λαθεῖν· |
| **22** καὶ ἰδοὺ γυνὴ Χαναναία | **25** ἀλλ᾽ εὐθὺς ἀκούσασα γυνὴ |
| ἀπὸ τῶν ὁρίων ἐκείνων | περὶ αὐτοῦ, |
| ἐξελθοῦσα ἔκραζεν λέγουσα, | |
| Ἐλέησόν με, κύριε υἱὸς | |
| Δαυίδ· | |
| ἡ θυγάτηρ μου κακῶς | ἧς εἶχεν τὸ θυγάτριον αὐτῆς |
| δαιμονίζεται. | πνεῦμα ἀκάθαρτον, |
| **23** ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ | |
| λόγον. καὶ προσελθόντες | |
| οἱ μαθηταὶ αὐτοῦ ἠρώτουν αὐτὸν | |
| λέγοντες, Ἀπόλυσον αὐτήν, | |
| ὅτι κράζει ὄπισθεν ἡμῶν. | |
| **24** ὁ δὲ ἀποκριθεὶς εἶπεν, | |
| Οὐκ ἀπεστάλην εἰ μὴ | |

| | |
|---|---|
| εἰς τὰ πρόβατα τὰ ἀπολωλότα | |
| οἴκου Ἰσραήλ. | |
| **25** ἡ δὲ ἐλθοῦσα προσεκύνει | ἐλθοῦσα προσέπεσεν πρὸς τοὺς |
| αὐτῷ | πόδας αὐτοῦ· |
| | **26** ἡ δὲ γυνὴ ἦν Ἑλληνίς, |
| | Συροφοινίκισσα τῷ γένει· |
| λέγουσα, | καὶ ἠρώτα αὐτὸν |
| Κύριε, βοήθει μοι. | ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς |
| | θυγατρὸς αὐτῆς. |
| **26** ὁ δὲ ἀποκριθεὶς εἶπεν, | **27** καὶ ἔλεγεν αὐτῇ, |
| | Ἄφες πρῶτον χορτασθῆναι |
| | τὰ τέκνα, |
| Οὐκ ἔστιν καλὸν λαβεῖν | οὐ γάρ ἐστιν καλὸν λαβεῖν |
| τὸν ἄρτον τῶν τέκνων | τὸν ἄρτον τῶν τέκνων |
| καὶ βαλεῖν τοῖς κυναρίοις. | καὶ τοῖς κυναρίοις βαλεῖν. |
| **27** ἡ δὲ εἶπεν, | **28** ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ, |
| Ναὶ κύριε, | Κύριε· |
| καὶ γὰρ τὰ κυνάρια | καὶ τὰ κυνάρια |
| | ὑποκάτω τῆς τραπέζης |
| ἐσθίει ἀπὸ τῶν ψιχίων | ἐσθίουσιν ἀπὸ τῶν ψιχίων |
| τῶν πιπτόντων ἀπὸ τῆς | |
| τραπέζης | |
| τῶν κυρίων αὐτῶν. | τῶν παιδίων. |
| **28** τότε ἀποκριθεὶς ὁ Ἰησοῦς | |

| | |
|---|---|
| εἶπεν αὐτῇ, | **29** καὶ εἶπεν αὐτῇ, |
| Ὦ γύναι, μεγάλη σου ἡ πίστις· | Διὰ τοῦτον τὸν λόγον ὕπαγε, |
| γενηθήτω σοι ὡς θέλεις. | ἐξελήλυθεν ἐκ τῆς θυγατρός σου |
| | τὸ δαιμόνιον. |
| | **30** καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον |
| | αὐτῆς εὗρεν |
| καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς | τὸ παιδίον βεβλημένον ἐπὶ |
| ἀπὸ τῆς ὥρας ἐκείνης. | τὴν κλίνην καὶ τὸ δαιμόνιον |
| | ἐξεληλυθός. |

Matthew: 150 – 11 = 139 Mark: 139 – 10 = 129 Identical: 62/268 = 23.13%